R.p.1228 καὶ ἔσχατον [ἐν τῷ βουλευτηρίῳ[3]] τὸν Πομπηϊάνὸν εἶδον[4]· ἐν γὰρ τοῖς ἀγροῖς τὰ πλεῖστα διὰ τὸν Κόμμοδον διῆγε, [καὶ ἐς τὸ ἄστυ ἐλάχιστα κατέβαινε,] τό τε γῆρας καὶ τὸ τῶν ὀφθαλμῶν νόσημα προβαλλόμενος· [οὐδὲ ἔστιν ὅτε πρότερον, ἐμοῦ παρόντος, ἐς τὴν γερουσίαν ἐσῆλθε.] Καὶ μέντοι καὶ μετὰ τὸν Περτίνακα πάλιν ἐνόσει· [ἐπὶ γὰρ ἐκείνου καὶ ἔβλεπε, καὶ ἔῤῥωτο[5], καὶ ἐβούλευε·] καὶ αὐτὸν[6] ὁ Περτίναξ τά τε ἄλλα ἰσχυρῶς ἐτίμα, καὶ ἐπὶ τοῦ βάθρου ἐν τῷ συνεδρίῳ παρεκάθιζε[7]. [Καὶ τοῦτο καὶ τὸν Γλαβρίωνα τὸν Ἀκίλιον[8] ἐποίει· καὶ γὰρ ἐκεῖνος τότε καὶ ἤκουε καὶ ἔβλεπε. Τούτους μὲν οὖν ἐς ὑπερβολὴν ἐτίμα·] ἐχρῆτο δὲ καὶ ἡμῖν δημοτικώτατα· καὶ γὰρ εὐπροσήγορος ἦν[9], ἤκουέ τε ἑτοίμως ὅ τι τις ἀξιοίη, καὶ ἀπεκρίνετο ἀνθρωπίνως ὅσα αὐτῷ δοκοίη. Εἰστία τε ἡμᾶς σωφρόνως[10]· καὶ ὁπότε μὴ τοῦτο ποιοίη[11], διέπεμπεν ἄλλοις ἄλλα καὶ

1. Pertinax devait beaucoup à Claudius Pompéianus. Capitolin, 2 : « Suspectus Marco [Antonino]... a partibus remotus est : et postea per Claudium Pompeianum, generum Marci, quasi adjutor ejus futurus, adscitus est. » — 2. Bkk. et Ddf ; vulg. : κατὰ τοῦτο ; Rm. : « In alterutro membro, inquit Slbg., vitiosum esse videtur pro μετὰ τοῦτο supposititum. Interpres in priori membro legit καὶ κατὰ τοῦτο, *eamque ob rem*, in posteriori omittit κατὰ τοῦτον. » Rsk. approuve μετὰ τοῦτο, et conseille de lire διὰ τοῦτον dans le second membre de phrase. — 3. Peir., Bkk. et Ddf ; vulg., Rm. et St. om. : ἐν τῷ βουλευτηρίῳ. — 4. Peir. : Ὅτι ὁ Δίων φησὶν ὅτι... εἶδεν.

5. Bkk. et Ddf, d'après Rsk. : « Fort. ἔῤῥωτο, *bene valebat*. Nam ὁρᾶν et βλέπειν, si quid novi, idem est. » — 6. Peir. : αὐτός.

par le crédit duquel ayant obtenu une charge de tribun de cavalerie, il arriva si haut qu'il devint le souverain de Pompéianus lui-même. J'ai vu, dans le temps de Pertinax, ce Pompéianus pour la première et pour la dernière fois au sénat; car, sous Commode, il passait la plus grande partie de sa vie à la campagne [et descendait fort peu à la ville], sous prétexte de vieillesse et de mal d'yeux; [jamais auparavant il n'avait paru au sénat en ma présence.] Néanmoins, après la mort de Pertinax, il fut de nouveau malade, [car, sous ce prince, il voyait, il se portait bien, et remplissait ses devoirs de sénateur.] Pertinax, entre autres marques d'estime, le faisait asseoir auprès lui, sur son banc, dans le sénat. [Il accordait le même honneur à Acilius Glabrion, car alors Glabrion entendait et voyait. Pertinax donc honorait beaucoup ces deux personnages,] et il en usait avec nous d'une façon fort civile; il était affable, se montrait toujours prêt à écouter nos demandes et répondait avec bonté ce qui lui semblait juste. Il nous recevait à sa table, qui était frugale, et, lorsqu'il ne le faisait pas, il envoyait une chose aux uns, une chose aux autres,

7. Pour ce passage, cf. la note 1 ci-contre, et aussi p. 140.

8. Glabrion, qui fut deux fois consul, était, dit Valois, le patricien dont la noblesse était la plus ancienne: l'origine de sa famille remontait à Énée. — 9. Peir.: δημοτικώτατα γὰρ καὶ εὐπροσήγορος ἦν. Cf. Hérodien, 11, 4; Capitolin, 9: « Civilem se salutantibus et interpellantibus semper exhibuit. » Cependant, aux ch. 12 et 13, Capitolin amoindrit singulièrement ses précédents éloges. Cf. Aurélius Victor, Epitome, XVIII, 4.

10. Capitolin, 6: « . . . ad convivium magistratus et proceres senatus rogavit, quam consuetudinem Commodus prætermiserat. » 8: « Convivium imperatorium ex immenso ad certum revocavit modum [cf. ch. 12 du même historien]: sumptus etiam omnes Commodi rescidit. »

11. C om.: εἰστία... ποιοίη.

τὰ εὐτελέστατα. Καὶ αὐτὸν ἐπὶ τούτῳ οἱ μὲν πλούσιοι καὶ μεγάλαυχοι, διεγέλων· οἱ δὲ ἄλλοι, οἷς ἀρετὴ ἀσελγείας προτιμοτέρα ἦν, ἐπῃνοῦμεν.

4. Ἔτι δὲ ὄντος αὐτοῦ ἐν Βρεττανίᾳ μετὰ τὴν μεγάλην ἐκείνην στάσιν ἣν ἔπαυσε[1], καὶ ἐπαίνων παρὰ πᾶσιν ἀξιουμένου[2], ἵππος τις ὄνομα Περτίναξ ἐνίκησεν ἐν τῇ Ῥώμῃ· ἦν δὲ τῶν πρασίνων[3] καὶ ὑπὸ τοῦ Κομμόδου ἐσπουδάζετο[4]. Τῶν οὖν στασιωτῶν αὐτοῦ μέγα ἀναβοησάντων καὶ εἰπόντων τοῦτο, « Περτίναξ ἐστίν, » οἱ ἕτεροι οἱ ἀντισταsιασταὶ σφῶν[5], οἷά που ἀχθόμενοι τῷ Κομμόδῳ, προσεπεύξαντο, εἰπόντες οὐ πρὸς τὸν ἵππον, ἀλλὰ πρὸς τὸν ἄνδρα· « Εἰ γὰρ ὤφειλεν εἶναι. » Ὕστερον δὲ τὸν αὐτὸν τοῦτον ἵππον ἀπαλλαγέντα τε τῶν δρόμων ὑπὸ τοῦ γήρως[6], καὶ ἐν ἀγρῷ ὄντα, μετεπέμψατο ὁ Κόμμοδος, καὶ ἐσήγαγεν ἐς τὸν ἱππόδρομον, τάς τε ὁπλὰς αὐτοῦ καταχρυσώσας, καὶ τὰ νῶτα δέρματι ἐπιχρύσῳ κοσμήσας· καὶ αὐτὸν οἱ ἄνθρωποι ἐξαπίνης ἰδόντες, ἀνεβόησαν αὖθις,
R.p.1229 « Περτίναξ ἐστί. » Καὶ ἦν μέν που μαντικὸν[7] αὐτὸ καθ' ἑαυτὸ τὸ λεχθὲν, ἐπειδὴ τῇ ἐσχάτῃ ἐν τῷ ἔτει ἐκείνῳ ἱπποδρομίᾳ ἐγένετο, καὶ εὐθὺς ἐπ' αὐτῇ τὸ κράτος ἐς τὸν Περτίνακα περιῆλθεν· ἐλογοποιήθη δὲ καὶ ἐπὶ τοῦ ῥοπά-

1. Cf. LXVII, 9, et Capitolin, 8. — 2, Rsk., St., Bkk. et Ddf; vulg. : ἀξιωμένου. — 3. Bkk. et Ddf, plus usité dans notre auteur que la vulg. : πρασίων. — 4. Commode était grand partisan (cf. LXXII, 17) de la faction des Verts. — 5. La faction des Bleus; c'étaient avec celle des Verts les deux seules, à vrai dire, qui excitassent l'intérêt des spectateurs et des

même des objets de peu de prix. Cette conduite lui valait les moqueries des gens riches et magnifiques; mais nous, pour qui la vertu était préférable au déréglement des mœurs, nous lui donnions des éloges.

4. Il était encore en Bretagne, après la grande sédition qu'il apaisa, et où il se montra digne des éloges de tous, lorsqu'un cheval, nommé Pertinax, remporta la victoire à Rome; ce cheval appartenait aux Verts et était fort aimé de Commode. Ceux de cette faction ayant poussé de grands cris en disant : « Voilà Pertinax, » ceux de la faction contraire, en gens irrités contre Commode, repartirent par ce vœu, où ils avaient eu vue non le cheval, mais le personnage : « Plût aux dieux que ce fût lui ! » Dans la suite, Commode envoya chercher ce même cheval, qu'on avait exempté des courses du cirque à cause de sa vieillesse et qu'on nourrissait à la campagne, et il le fit amener dans le cirque avec la corne des pieds dorée et une housse formée d'une peau enrichie d'or; les spectateurs, en le voyant paraître tout à coup, s'écrièrent de nouveau : « Voilà Pertinax. » Ces mots, à eux seuls, étaient une sorte de prédiction, ayant été dits aux derniers jeux célébrés au cirque cette année, et le pouvoir ayant aussitôt après passé à Pertinax; on parla aussi dans le même sens de la massue que Commode, le

empereurs eux-mêmes; on faisait peu d'attentions aux autres. — 6. Néron (LXI, 6) avait établi une pension alimentaire pour les coursiers illustres devenus vieux.

7. St. : « Που οὐ μαντικόν, *non ominosum*, legendum, et ante ἐπειδή, verba ἐγένετο δέ, scil. μαντικόν, inserenda conjicit Reiskius. »

λου[1] τὰ ὅμοια, ἐπειδὴ τῷ Περτίνακι αὐτὸ ὁ Κόμμοδος μονομαχήσειν[2] τῇ τελευταίᾳ ἡμέρᾳ μέλλων ἔδωκεν.

5. Οὕτω μὲν ἐς τὴν ἀρχὴν ὁ Περτίναξ κατέστη· καὶ ἔλαβε τάς τε ἄλλας ἐπικλήσεις τὰς προσηκούσας[3], καὶ ἑτέραν ἐπὶ τῷ δημοτικὸς εἶναι βούλεσθαι· πρόκριτος γὰρ τῆς γερουσίας κατὰ τὸ ἀρχαῖον ἐπωνομάσθη[4]. Καὶ εὐθὺς ἐς κόσμον ὅσα πρὶν πλημμελῶς εἶχε καὶ ἀτάκτως καθίστατο[5]· φιλανθρωπία τε γὰρ καὶ χρηστότης, καὶ οἰκονομία βελτίστη, καὶ πρόνοια τοῦ κοινοῦ ἐπιμελεστάτη περὶ τὸν αὐτοκράτορα διεδείκνυτο. Τά τε γὰρ ἄλλα, ὅσα ἂν ἀγαθὸς αὐτοκράτωρ, ἔπραττεν ὁ Περτίναξ, καὶ τὴν ἀτιμίαν ἀφεῖλε τῶν ἀδίκως πεφονευμένων[6]· καὶ προσέτι καὶ ἐπώμοσε, μηδέποτε τοιαύτην δίκην προσδέξεσθαι. Καὶ αὐτίκα οἱ μὲν τοὺς συγγενεῖς, οἱ δὲ τοὺς φίλους ἀνεκάλουν[7] μετὰ δακρύων ὁμοῦ καὶ χαρᾶς (οὐδὲ γὰρ οὐδὲ τοῦτο πρὶν ἐξῆν ποιεῖν)· καὶ μετὰ ταῦτα ἀνορύττοντες τὰ σώματα, οἱ μὲν ὁλόκληρα, οἱ δὲ μέρη, ὥς που ἕκαστον αὐτῶν ἡ τοῦ ὀλέθρου ἡ τοῦ χρόνου εἶχεν, εὐθέτουν, καὶ ἐς τὰ προγονικὰ μνημεῖα ἀπετίθεντο. Τοσαύτη δὲ ἄρα τότε τὸ βασίλειον εἶχεν ἀχρηματία, ὥστε πέντε καὶ εἴκοσι μυριάδες δραχμῶν μόναι εὑρέθησαν[8]. Χαλεπῶς δ' οὖν ὁ Περτίναξ ἔκ τε τῶν

1. La massue, attribut d'Hercule, qu'au théâtre (LXXII, 19 et 21) on plaçait sur une estrade dorée, et dont il se servait quelquefois.

2. Ce qu'il faisait presque toujours après son dîner (LXXII, 19 et 21).

3. Capitolin, 5 : « Primus omnium ea die, qua Augustus est appellatus, etiam Patris patriæ nomen recepit : necnon simul etiam imperium proconsulare, necnon jus quartæ relationis. »

4. Comme Auguste (LIII, 1) et comme Tibère (LVII, 8).

dernier jour des jeux, au moment de combattre en gladiateur, remit entre les mains de Pertinax.

5. C'est ainsi que Pertinax fut élevé à l'empire ; il reçut, outre les autres noms appartenant à sa dignité, un autre titre encore se rapportant à son intention d'être populaire : il fut nommé prince du sénat au sens antique du mot. Aussitôt tout ce qui auparavant était trouble et déréglement rentra dans l'ordre, car une humanité, une bonté, une économie remarquables, un soin attentif de ce qui regarde l'intérêt général, se montraient dans tout le service autour de l'empereur. Pertinax, entre autres mesures qu'on pouvait attendre d'un bon prince, réhabilita la mémoire de ceux qui avaient été injustement mis à mort, et, de plus, il jura de ne jamais infliger une telle peine. Aussitôt tous se mirent à appeler à haute voix, avec des larmes et des transports de joie, les uns leurs parents, les autres leurs amis (car, auparavant, il n'était pas permis de le faire); puis, déterrant les corps, les uns encore entiers, les autres en lambeaux, suivant la manière dont chacun d'eux avait péri ou suivant le temps écoulé depuis, ils les recueillaient religieusement et les déposaient dans les monuments de leurs ancêtres. Tel était alors l'état d'épuisement du fisc qu'on n'y trouva que vingt mille drachmes. Aussi Pertinax eut-il de la peine, avec l'ar-

5. Cf. Capitolin; Hérodien, II, 4. — 6. Capitolin, 6 : « Revocavit eos qui deportati fuerant crimine majestatis, eorum memoria restituta qui occisi fuerant. » — 7. Rm., suivi par St. : « Credo scribendum esse συνεκάλουν, *convocabant*, quod et Blancus habet. Ἀναχαλεῖν enim est revocare. » Correction inutile, ἀναχαλεῖν signifiant ici *appeler à haute voix*.

8. Vulg., Bkk. et Ddf; Zn., Rm. et St. : μυριάδας... εὑρεθῆναι. La même somme est encore mentionnée ch. 8, et dans Capitolin, 7.

εἰκόνων καὶ τῶν ὅπλων, τῶν τε ἵππων καὶ τῶν ἐπίπλων[1], καὶ τῶν παιδικῶν τῶν τοῦ Κομμόδου ἀγείρας ἀργύριον, τοῖς τε δορυφόροις ἔδωκεν ὅσα ὑπέσχητο[2], καὶ τῷ δήμῳ καθ' ἑκατὸν δραχμάς[3]. Σύμπαντα γὰρ ὅσα ὁ Κόμμοδος ἐπί τε τῇ τρυφῇ, καὶ ἐς ὁπλομαχίαν, ἢ καὶ ἐς ἁρματηλασίαν ἐκέκτητο[4], ἐς τὸ πωλητήριον ἐξετέθη[5]· τὸ μὲν πλεῖστον πράσεως ἕνεκα, ἤδη δὲ καὶ ἐς ἐπίδειξιν τῶν τε ἔργων αὐτοῦ καὶ τῶν διαιτημάτων, καὶ προσέτι καὶ ἐς ἔλεγχον τῶν ὠνησομένων αὐτά.

R.p.1230 6. Ὁ δὲ Λαῖτος τὸν Περτίνακα δι' εὐφημίας ἦγε, καὶ τὸν Κόμμοδον ὕβριζε[6]. Βαρβάρους γοῦν τινας χρυσίον παρ' αὐτοῦ πολὺ ἐπ' εἰρήνῃ εἰληφότας[7] μεταπεμψάμενος (ἔτι γὰρ ἐν ὁδῷ ἦσαν), ἀπῄτησεν αὐτὸ[8], εἰπὼν ὅτι[9], « Λέγετε τοῖς οἴκοι, Περτίνακα ἄρχειν· » ἤδεσαν γὰρ καὶ πάνυ τὸ ὄνομα αὐτοῦ, ἐξ ὧν ἐπεπόνθεσαν[10], ὅτε μετὰ τοῦ Μάρκου ἐστράτευτο. Καὶ ἕτερον δέ τι τοιόνδε ἐπὶ τῇ[11] τοῦ Κομμόδου διαβολῇ ὁμοίως ἔπραξε. Κοπρίας τινὰς καὶ γελωτοποιούς, αἴσχιστα[12] μὲν τὰ εἴδη, αἰσχίω δὲ τὰ ὀνόματα καὶ τὰ ἐπιτηδεύματα ἔχοντας, καὶ διὰ τὴν ὕβριν τήν τε

1. Bkk. et Ddf; vulg. om. : τῶν; *f* om. : τῶν εἰκόνων... ἐπίπλων.

2. Bkk. et Ddf; vulg. : ὑπέσχετο. Capitolin, 7, dit, au contraire : « Cujus nundinationis pecuniam, quæ ingens fuit, militibus donativo dedit. »

3. Capitolin, 15, est ici d'accord avec Dion : « Congiarium dedit populo denarios centenos. » — 4. Zn. : ἐκέχρητο.

5. Capitolin, 8, nous a transmis sur cette vente quelques détails curieux. — 6. Rm. et St. intercalent ici l'Extrait suivant emprunté à *Peir.* : Ὅτι ὁ Λαῖτος ὁ ὕπατος [commencement qu'ils remplacent simplement par Καί. Rm., de plus, en note, voudrait remplacer ὕπατος par

gent qu'il tira des statues, des armes, des chevaux, des meubles et des mignons de Commode, à payer aux prétoriens la somme qui leur avait été promise et environ cent drachmes au peuple. En effet, tout ce que Commode avait acheté pour son luxe, pour ses combats de gladiateurs, pour ses courses de chars, fut mis à l'encan, la plus grande partie pour être vendue, et aussi tant pour montrer quelles étaient les occupations et la manière de vivre de ce prince, que pour connaître ceux qui les achèteraient.

6. Quant à Lætus, il exaltait Pertinax et accablait Commode d'outrages. Des barbares ayant reçu une grosse somme d'or pour entretenir la paix, il les rappela (ils étaient encore en route) et réclama d'eux la somme en ajoutant : « Dites à ceux de votre pays que c'est Pertinax qui est empereur ; » ils n'avaient, en effet, que trop connu son nom par les maux qu'il leur avait fait souffrir lorsqu'il combattait contre eux avec Marc-Antonin. Lætus fit encore une autre chose du même genre, afin de déshonorer la mémoire de Commode. Trouvant de sales bateleurs et des bouffons, gens à la mine hideuse, aux noms et aux mœurs plus hideux encore,

ἔπαρχος, s'appuyant sur un passage de LXXII, 19, ὅσα κακῶς ἐποίησεν ὁ Κόμμοδος (Rm. et St. : ὅσα αὐτὸς κακῶς ἐποίησεν)] ἐξήλεγχεν. « Le « consul Lætus mettait au grand jour tout ce que Commode avait fait « de mal. »

7. Commode avait, au témoignage d'Hérodien, I, 6, acheté la paix des barbares à prix d'argent. — 8. Peir. om. — 9. Peir. : εἰπὼν αὐτοῖς ὅτι.

10. Zn. (haud dubie rectius, dit Rm.) et Ddf ; vulg. et Bkk. : πεπόνθεσαν. Sur les faits historiques, cf. Hérodien, II, 4. — 11. *f* om. : τοῦ Μάρκου... ἐπὶ τῷ. — 12. Peir. : τῶν συγγενομένων αἰχιστα.

ἀσέλγειαν[1] ὑπὸ τοῦ Κομμόδου[2] ὑπερπλουτοῦντας εὑρὼν, ἐδημοσίευσε τάς τε προσηγορίας αὐτῶν, καὶ τὸ πλῆθος ὧν ἐκέκτηντο· καὶ ἦν ἐπὶ μὲν τοῖς γέλως, ἐπὶ δὲ τοῖς ὀργὴ καὶ λύπη· τοσαῦτα γάρ τινες αὐτῶν ἔχοντες ἦσαν, ἐφ' ὅσοις ἐκεῖνος πολλοὺς καὶ τῶν βουλευτῶν ἐσφάχει. Οὐ μέντοι γε καὶ δι' ὅλου ὁ Λαῖτος πιστὸς ἔμεινε τῷ Περτίνακι, μᾶλλον δὲ οὐδ' ἐν ἀκαρεῖ· ὧν γὰρ ἤθελε μὴ τυγχάνων, προσπαρώξυνε τοὺς στρατιώτας, ὡς λελέξεται[3], κατ' αὐτοῦ.

7. Τὸν μὲν οὖν πενθερὸν αὐτοῦ ὁ Περτίναξ τὸν Σουλπικιανὸν τὸν Φλάουϊον πολιαρχεῖν ἔταξε, καὶ ἄλλως ἄξιον ὄντα τούτου τυχεῖν· οὔτε δὲ τὴν γυναῖκα Αὔγουσταν, οὔτε τὸν υἱὸν Καίσαρα, καίπερ ψηφισαμένων ἡμῶν, ποιῆσαι ἐθέλησεν, ἀλλ' ἑκάτερον ἰσχυρῶς διεκρούσατο, εἴτ' οὖν ὅτι μηδέπω τὴν ἀρχὴν ἐρριζώκει, εἴτε καὶ ὅτι ἐκείνην τε
R.p.123i ἀκολασταίνουσαν οὐκ ἠβουλήθη τὸ τῆς Αὐγούστης ὄνομα μιᾶναι· καὶ τὸν υἱὸν, παιδίον ἔτι ὄντα, οὐκ ἠθέλησε, πρὶν παιδευθῆναι, τῷ τε ὄγκῳ[4] καὶ τῇ ἐλπίδι τῇ ἐκ τοῦ ὀνόματος διαφθαρῆναι[5]. Ἀλλ' οὐδ' ἐν τῷ παλατίῳ αὐτὸν ἔτρεφεν[6], ἀλλὰ καὶ πάντα τὰ ὑπάρχοντα αὐτῷ[7] πρότερον ἐν τῇ πρώτῃ εὐθὺς ἡμέρᾳ ἀποθέμενος[8], ταῦτά τε τοῖς τέκνοις

1. Peir. : καὶ τὴν ἀσελγείαν. — 2. Peir. om. : ὑπὸ τοῦ Κομμόδου.
3. Cf. ch. 7.
4. St., d'après Rm. approuvé par Rsk. (*Nova Acta eruditorum*, 1752, p. 636), Bkk. et Ddf; vulg. : ὅρκῳ. — 5. Capitolin, 5 : « Ea die qua Augustus est appellatus et Flavia Titiana, uxor ejus, Augusta est appellata... » 6 : « Filium ejus Pertinacem senatus Cæsarem appellavit. Sed

enrichis outre mesure par Commode à cause de leur insolence et de leur impudicité, il les mit publiquement en vente avec leurs noms et la multitude de leurs talents; et ce spectacle excita, d'un côté le rire, de l'autre, l'indignation et la tristesse : quelques-uns d'entre eux, en effet, possédaient des richesses si considérables que, pour les leur procurer, le prince avait égorgé plusieurs sénateurs. Néanmoins Lætus ne demeura pas toujours fidèle à Pertinax, ou plutôt il ne le fut pas longtemps; en effet, n'obtenant pas ce qu'il désirait, il souleva, comme on va le dire, les soldats contre lui.

7. Pertinax donna la préfecture de Rome à Flavius Sulpicianus, son beau-père, homme d'ailleurs digne d'un tel emploi; mais il ne voulut, malgré notre décret, faire ni sa femme Augusta ni son fils César. Il repoussa énergiquement l'un et l'autre titre, soit parce que son pouvoir n'était pas encore affermi, soit parce qu'il se refusait à laisser souiller le titre d'Augusta par les désordres de cette femme; quant à son fils, qui était encore en bas âge, il ne voulait pas, avant que ce fils fût instruit, le laisser se corrompre par l'éclat et par l'espoir que lui aurait donné ce nom. Au lieu de l'élever dans le palais, il renonça, dès le premier jour, à tout ce qu'il possédait

Pertinax nec uxoris Augustæ appellationem recepit, et de filio dixit, Quum meruerit...» 13 : « Circa uxoris pudicitiam minus curiosus fuit, quum palam citharœdum illa diligeret...»

6. Capitolin, 13 : « Filios suos in palatio nutriri noluit.» Cf. Hérodien, II, 4. — 7. Bkk. et Ddf; vulg. : αὐτῷ.— 8. Capitolin, 11 : « Suos [cubicularios], statim ut imperator factus est, filiis emancipatos dederat.»

διένειμε (καὶ γὰρ καὶ θυγατέρα εἶχε), καὶ παρὰ τῷ πάππῳ[1] διαιτᾶσθαι αὐτὰ ἐκέλευσεν, ὀλίγα ἄττα αὐτοῖς ὡς πατὴρ, καὶ οὐχ ὡς αὐτοκράτωρ, συγγινόμενος.

8. Ἐπεὶ οὖν οὔτε τοῖς στρατιώταις ἁρπάζειν, οὔτε τοῖς Καισαρείοις ἀσελγαίνειν ἔτι ἐξῆν, δεινῶς οὗτοι ἐμίσουν αὐτόν[2]. Ἀλλ' οἱ μὲν Καισάρειοι οὐδὲν, ἅτε καὶ ἄοπλοι ὄντες, ἐνεωτέρισαν· οἱ δὲ δὴ στρατιῶται οἱ δορυφόροι, καὶ ὁ Λαῖτος, ἐπεβούλευσαν αὐτῷ[3]. Καὶ πρῶτα μὲν τὸν ὕπατον Φάλκωνα[4], ὅτι καὶ γένει καὶ χρήμασιν ἤκμαζεν, αὐτοκράτορα[5] ἐπιλέγονται, καὶ ἐς τὸ στρατόπεδον αὐτὸν ἐσάξειν, τοῦ Περτίνακος ἐπὶ τῇ θαλάσσῃ τὴν τοῦ σίτου παρασκευὴν ἐξετάζοντος[6], ἔμελλον[7]. Μαθὼν δὲ τοῦτ' ἐκεῖνος, σπουδῇ ἐς τὴν πόλιν ἦλθε, καὶ παρελθὼν ἐς τὴν γερουσίαν ἔφη· « Οὐ χρὴ ὑμᾶς ἀγνοεῖν, ὦ Πατέρες, ὅτι πέντε που καὶ εἴκοσι μυριάδας δραχμῶν[8] εὑρὼν, τοσοῦτον τοῖς στρατιώταις διένειμα, ὅσον Μάρκος τε καὶ Λούκιος, οἷς ἑξακισμύριαι καὶ ἑπτακισχίλιαι καὶ πεντακόσιαι μυριάδες κατελείφθησαν. Ἀλλ' αἴτιοι τῆς ἀχρηματίας ταύτης οἱ θαυμαστοὶ Καισάρειοι γεγόνασι. » Καὶ ἐψεύσατο μὲν ὁ

1. Rm. : « Avum intellige maternum, Flavium Sulpicianum. Minus recte credo Herodianus [II, 4] ἐν τῇ πατρῴᾳ. » — 2. Pertinax avait commis la faute de ne déplacer aucun de ceux à qui Commode avait donné des charges, et d'attendre le jour anniversaire de la fondation de Rome pour les améliorations qu'il projetait. Aussi fut-il prévenu par eux. Outre ce qui a été dit, au ch. 1. du mécontentement témoigné contre Pertinax par une certaine faction, on peut encore rapprocher divers passages de Capitolin, 8, 10, 11, 12, 14.

3. Eutrope, Aurélius Victor (Césars, XVIII, 2, et Epitome, XVIII, 2), Spartien (Julianus, 3), Orose, Eusèbe prétendent que l'instigateur fut

auparavant, pour le distribuer à ses enfants (il avait aussi une fille), et ordonna qu'ils demeureraient chez leur aïeul, où ses rapports avec eux, peu nombreux du reste, étaient d'un père, et non d'un empereur.

8. Les soldats, n'ayant plus la permission de piller, ni les Césariens de se livrer à leurs débordements, en conçurent une haine violente contre lui. Mais les Césariens, qui n'avaient pas d'armes, ne tentèrent rien, tandis que les soldats prétoriens, avec Lætus, conspirèrent contre lui. Ils choisirent d'abord pour empereur le consul Falcon en considération de sa naissance et de ses richesses, et ils devaient l'introduire dans leur camp pendant que Pertinax était occupé sur mer à inspecter l'annone. Pertinax, averti de cette entreprise, revint en diligence à Rome, et, s'étant rendu au sénat, y parla en ces termes : « Il ne faut pas que vous ignoriez, « Pères Conscrits, qu'encore que je n'aie trouvé que « vingt-cinq mille drachmes, je n'ai pas laissé de faire « d'aussi grandes largesses aux soldats que Marcus et « Lucius, à qui on en avait laissé soixante-sept mille « cinq cents. Mais ceux qui sont cause de cette pénu- « rie, ce sont les admirables Césariens. » Pertinax men-

Julianus; Capitolin (Albinus, 1 et 14), que ce fut Albinus. Mais Capitolin (Pertinax, 10 et 11) est d'accord avec Dion. — 4. Q. Sosius Falcon, que Commode (LXXII, 22) avait voulu faire mourir la veille des calendes de janvier. — 5. Bkk. et Ddf; St. défend la vulgate : « An Græce dici possit τὸν ὕπατον Φάλκωνα εἰς αὐτοκράτορα ἐπιλέγονται, valde dubito. Si certum esset nos hic verba Dionis legere, vel delendam censerem præpositionem εἰς, vel, hac servata, nomen ἀρχήν post eam inserendum. Xiphilino talem licentiam indulgere possumus. » — 6. Capitolin, 7 : « Annonæ consultissime providit. » — 7. Bkk.; vulg. et Ddf : ἤμελλον.

8. Cf. p. 226, note 4, ch. 5.

Περτίναξ, ὅτι ἐπίσης τῷ Λουκίῳ καὶ τῷ Μάρκῳ τοῖς στρατιώταις ἐδωρήσατο[1] (ὁ μὲν γὰρ ἐς πεντακισχιλίας, ὁ
R.p.1232 δὲ ἐς τρισχιλίας αὐτοῖς ἐδεδώκει)· οἱ δὲ δὴ στρατιῶται καὶ οἱ Καισάρειοι παρόντες ἐν τῷ συνεδρίῳ (πάμπολλοι δὲ ἦσαν) δεινῶς ἠγανάκτησαν, καὶ φοβερόν τι διετονθόρυσαν. Μελλόντων δὲ ἡμῶν[2] καταψηφιεῖσθαι τοῦ Φάλκωνος, [καὶ ἤδη γε αὐτὸν πολέμιον ὀνομαζόντων,] ἀναστὰς ὁ Περτίναξ καὶ ἀνακραγών, « Μὴ γένοιτο, ἔφη, μηδένα βουλευτὴν, ἐμοῦ ἄρχοντος[3], μηδὲ δικαίως θανατωθῆναι. » [Καὶ ὁ μὲν οὕτως ἐσώθη[4].]

9. Ὁ δὲ Λαῖτος, παραλαβὼν τὴν κατὰ τὸν Φάλκωνα ἀφορμὴν[5], πολλοὺς τῶν στρατιωτῶν, ὡς καὶ ἐκείνου κελεύοντος, διέφθειρεν. Οἱ δὲ λοιποὶ, τοῦτο αἰσθόμενοι, καὶ φοβηθέντες μὴ καὶ αὐτοὶ προσαπόλωνται, ἐθορύβησαν. Διακόσιοι[6] δὲ οἱ τῶν ἄλλων θρασύτεροι, καὶ ἐς τὸ παλάτιον τὰ ξίφη ἀνατετακότες ὥρμησαν. Οὐδὲ ἔγνω πρότερον προσιόντας ὁ Περτίναξ αὐτοὺς, πρὶν ἄνω γενέσθαι[7]· τότε δὲ

1. Rm., citant ce passage de Capitolin (Marc-Antonin, 7) : « [Marcus et Verus] pariter castra prætoria petiverunt, et vicena millia nummum singulis ob participatum imperium promiserunt, et ceteris pro rata.... » pense que, s'il était permis de s'en rapporter à cet historien, l'honneur de Pertinax serait à couvert, car, dit-il, « quia unus dederat duodena sestertia [c. 1 : τρισχιλίας γὰρ αὐτοῖς δραχμὰς κατ' ἄνδρα δώσειν], adeoque tantumdem, imo amplius, quantum singuli Augusti Marcus et Verus. Sed quum imperatores singuli consuessent vicena prætorianis dare, primum verisimile non est Marcum, communicato imperio cum fratre et genero, nil amplius pro ambobus promisisse : unde fides major est penes Dionem, qui amplius Verum duodena refert dedisse. Neque id mirum videri debet quod pro Vero minus quam pro Marco promissum sit, quia et duo Augusti dis-

tait en disant qu'il avait donné aux soldats autant que Lucius et que Marcus (l'un, en effet, leur avait donné environ cinq mille drachmes, l'autre, environ trois mille); les soldats et les Césariens alors présents dans le sénat (et ils étaient fort nombreux) en conçurent une violente indignation et firent entendre un murmure effrayant. Nous allions condamner Falcon, [déjà même nous le déclarions ennemi public,] lorsque Pertinax, se levant, s'écria : « Les dieux ne permettent pas qu'aucun sénateur soit mis à mort même justement, sous mon règne. » [C'est ainsi que Falcon fut sauvé.]

9. Lætus, prenant l'occasion de l'entreprise de Falcon, fit tuer plusieurs soldats comme par ordre de l'empereur. Les autres, s'en étant aperçus et craignant d'être eux-mêmes mis à mort à la suite de leurs camarades, se soulevèrent. Deux cents des plus hardis se portèrent sur le palais l'épée à la main. Pertinax n'eut connaissance de leur marche que lorsqu'ils furent

pari quodammodo potestate interdum fuerunt [LXXI, 1]. Præterea Dioni præsenti credendum est, Pertinacem hæc ea sententia jactasse, quasi ipse solus tantumdem, quantum ambo Augusti, Marcus et Verus, dederit. »

2. Peir. : Ὅτι κατὰ τὴν ἐπιβουλὴν τὴν κατὰ Περτίνακος μελλόντων τῶν βουλευτῶν. — 3. Peir. : ἐμοῦ ἄρχοντος βουλευτήν. — 4. Capitolin, 10 : « Falconi tamen pepercit, et a senatu impunitatem ejus petiit. »

5. Capitolin, 10 : « Grave præterea militibus visum, quod in causa Falconis multos milites ad unius servi testimonium occidi præceperat. »

6. Trois cents, suivant Capitolin, 11 ; Zn. est d'accord avec Dion.

7. Capitolin, 11 : « Sed subito ille globus in palatium pervenit, neque aut arceri potuit, aut imperatori nuntiari... »

ἡ γυνὴ αὐτοῦ ἐσδραμοῦσα ἐμήνυσεν αὐτῷ τὸ γενόμενον[1]. Μαθὼν οὖν ταῦτ' ἐκεῖνος, πρᾶγμα, εἴτ' οὖν γενναῖον, εἴτε ἀνόητον, εἴθ' ὅπως τις αὐτὸ ὀνομάσαι ἐθέλει, ἔπραξε. Δυνηθεὶς γὰρ ἂν μάλιστα μὲν ἀποκτεῖναι τοὺς ἐπελθόντας (τῇ τε γὰρ νυκτερινῇ φυλακῇ[2] καὶ τοῖς ἱππεῦσιν ὥπλιστο, καὶ ἦσαν καὶ ἄλλοι ἐν τῷ παλατίῳ τότε ἄνθρωποι πολλοί), εἰ δὲ μή, κατακρυφθῆναί γε καὶ διαφυγεῖν ποι, τάς τε πύλας τοῦ παλατίου καὶ τὰς ἄλλας τὰς διὰ μέσου θύρας κλείσας, τούτων μὲν οὐδέτερον ἐποίησεν· ἐλπίσας δὲ καταπλήξειν αὐτοὺς ὀφθείς, καὶ πείσειν ἀκουσθείς, ἀπήντησε τοῖς προσιοῦσιν, ἐν τῇ οἰκίᾳ ἤδη οὖσιν· οὔτε γὰρ τῶν συστρατιωτῶν τις αὐτοὺς εἶρξε, καὶ οἱ πυλωροὶ οἵ τε ἄλλοι Καισάρειοι οὐχ ὅτι τι συνέκλεισαν, ἀλλὰ καὶ πάντα ἁπλῶς προσανέῳξαν.

R.p.1233 10. Ἰδόντες δ' οὖν οἱ στρατιῶται, τὸ μὲν πρῶτον ἠδέσθησαν[3], πλὴν ἑνός, καὶ τούς τε ὀφθαλμοὺς[4] ἐς τὸ δάπεδον ἤρεισαν[5], καὶ τὰ ξίφη ἐς τοὺς κουλεοὺς ἐναπέθεντο· ἐπεὶ δὲ ἐκεῖνος προπηδήσας, εἶπέ τε ὅτι « Τοῦτό σοι τὸ ξίφος οἱ στρατιῶται πεπόμφασι, » καὶ προσπεσὼν εὐθὺς ἔπληξεν αὐτὸν, οὐκ ἐπέσχον, ἀλλὰ τόν τε αὐτοκράτορα σφῶν κατέκοψαν[6], καὶ τὸν Ἔκλεκτον. Μόνος γὰρ δὴ οὗτος οὐτ' ἐγκατέλιπεν αὐτὸν, καὶ ἐπήμυνεν αὐτῷ ὅσον ἠδυνήθη,

1. Hérodien, II, 5, dit que les amis du prince lui annoncèrent ce qui se passait et lui conseillèrent de prendre la fuite. — 2. Doit s'entendre de la garde qui veillait, la nuit, au palais, et non du corps des Vigiles.

3. Cf. Hérodien, II, 5. Capitolin, 11 : « Pertinax ad eos processit, eosque longa et gravi oratione placavit. » — 4. Rsk., Bkk. et Ddf;

arrivés au haut des degrés ; sa femme, accourant alors, l'avertit de ce qui se passait. Quand il en fut instruit, il fit une action qu'on appellera soit généreuse, soit insensée, soit de n'importe quel nom on voudra. Au lieu qu'il pouvait, avant tout, tailler en pièces les agresseurs (il était défendu par le piquet de nuit et par de la cavalerie, et il y avait aussi alors beaucoup d'autres personnes dans le palais), ou du moins se cacher et s'enfuir, en fermant la porte d'entrée du palais et les autres du milieu, il n'en fit rien. Espérant leur en imposer par sa présence et les persuader par ses paroles, il s'avança à leur rencontre, comme ils étaient déjà dans ses appartements ; aucun de leurs camarades n'avait essayé de les arrêter, et les portiers, ainsi que les autres Césariens, loin de rien fermer, avaient, au contraire, simplement tout ouvert.

10. A la vue du prince, les soldats furent d'abord saisis de respect, à l'exception d'un seul ; ils baissèrent les yeux à terre et remirent les épées au fourreau; mais, aussitôt que cet homme, s'élançant contre Pertinax, lui eut dit : « Voilà une épée que les soldats t'envoient, » et que, se précipitant à l'instant sur lui, il l'eut frappé, alors les autres ne se continrent pas et ils percèrent de coups leur empereur et Eclectus. Seul, en effet, Eclectus n'abandonna pas Pertinax ; il le défendit autant qu'il fut en son

vulg. : ἑνὸς, τούς τε ὀφθαλμοὺς καί. — 5. Slbg. (*Index*), Henri Etienne, Lncl. en marge, Bkk. et Ddf; vulg. : ἔρεισαν. — 6. Capitolin, 11 : « Quum Tausius quidam, unus e Tungris, in iram et timorem milites loquendo adduxisset, in pectus Pertinacis objecit. Tunc ille precatus Jovem Ultorem, toga caput operuit, atque a ceteris confossus est. »

ὥστε καὶ τρῶσαί τινας[1]· ὅθεν ἐγὼ καὶ πρὸ τοῦ ἄνδρα αὐτὸν ἀγαθὸν γεγονέναι νομίζων, τότε δὲ[2] καὶ πάνυ ἐθαύμασα. Ἀποτεμόντες δὲ οἱ στρατιῶται τὴν κεφαλὴν τοῦ Περτίνακος, περί τε δόρυ περιέπειραν[3], τῷ ἔργῳ ἐλλαμπρυνόμενοι. Οὕτω μὲν ὁ Περτίναξ, ἐπιχειρήσας ἐν ὀλίγῳ πάντα ἀνακαλέσασθαι, ἐτελεύτησεν· οὐδὲ ἔγνω, καίπερ ἐμπειρότατος πραγμάτων ὤν, ὅτι ἀδύνατόν ἐστιν ἀθρόα τινὰ[4] ἀσφαλῶς ἐπανορθοῦσθαι, ἀλλ' εἴπερ τι ἄλλο, καὶ πολιτικὴ κατάστασις καὶ χρόνου καὶ σοφίας χρῄζει. Ἐβίω δὲ ἔτη ἑπτὰ καὶ ἑξήκοντα, τεσσάρων μηνῶν καὶ τριῶν ἡμερῶν[5] δέοντα· ἦρξε δὲ ἡμέρας ὀγδοήκοντα καὶ ἑπτά.

11. Διαγγελομένου δὲ τοῦ κατὰ τὸν Περτίνακα πάθους, οἱ μὲν ἐς τὰς οἰκίας ἔτρεχον, οἱ δὲ ἐς τὰς τῶν στρατιωτῶν, καὶ τῆς ἑαυτῶν ἀσφαλείας πρόνοιαν ἐποιοῦντο[6]. Σουλπικιανὸς[7] δὲ (ἔτυχε γὰρ παρὰ τοῦ Περτίνακος ἀποσταλεὶς ἐς τὸ στρατόπεδον, ἵνα τὰ ἐκεῖ καταστήσηται) ἔμεινέ τε ἐν αὐτῷ, καὶ ἔπραττεν ὅπως ἂν αὐτοκράτωρ ἀποδειχθῇ[8]. Κἀν τούτῳ Ἰουλιανὸς ὁ Δίδιος[9], χρηματιστής τε

1. Capitolin continue : « Et Electus quidem confossis duobus cum eodem periit. » — 2. Rsk.; vulg. Bkk. et Ddf : δή. — 3. Rm. : « Membrum deesse declarat τε. Talis ergo quæpiam requiritur lectio : περί τε δόρυ περιέπειραν, καὶ διὰ τῆς πόλεως περιήνεγκαν. Apud Zonaram brevius : δόρατι περιπείραντες περιῆγον. Sylb. Corrige : περὶ τὸ δόρυ περιέπειραν. L. Quanquam illud περιῆγον ex re intelligi possit, ut [LXIV, 6] de Galba; tamen quia τό pro τε vix locum habet, ubi hasta indefinite indicatur, inclino ad Sylburgii sententiam. » — 4. Wakefield, *Silva critica*, p. IV, p. 102 : τινί, *quod non possibile sit alicui sine periculo restituere multa subito.* — 5. Zn. om. : καὶ τριῶν ἡμερῶν. Sur les différences chronologiques qui se rencontrent dans les auteurs, cf. les notes 68 et 69

pouvoir, à tel point qu'il blessa plusieurs des assassins ; aussi, l'ayant toujours tenu auparavant pour un homme de bien, j'ai conçu, de ce moment, une vive admiration pour lui. Les soldats, après avoir coupé la tête de Pertinax, la mirent au bout d'une lance, glorieux de cet exploit. C'est ainsi que mourut Pertinax, pour avoir entrepris de tout réformer en peu de temps ; malgré sa grande expérience des affaires, il n'avait pas compris qu'il est impossible de corriger en une fois de nombreux abus sans s'exposer à des dangers, et que la constitution d'un État, plus qu'aucune autre chose, exige du temps et de la prudence. Il vécut soixante-sept ans moins quatre mois trois jours, et régna soixante-sept jours.

11. Dès que le bruit de la mort de Pertinax se fut répandu, les uns coururent se réfugier dans leurs propres maisons, les autres dans celles des soldats, et s'occupèrent de leur sûreté. Quant à Sulpicianus, il resta au camp (il y avait été envoyé par Pertinax pour rétablir l'ordre), et chercha à se faire élire empereur. Dans l'intervalle, Didius Julianus, homme insatiable d'argent et

de Rm. — 6. Suivant Hérodien, les soldats, aussitôt qu'ils eurent consommé leur crime, en appréhendèrent les suites; ils s'enfuirent dans leur camp, en fermèrent les portes et se mirent en garde sur les remparts et sur les tours, etc. — 7. Le même dont il est parlé au ch. 7.

8. Cf. Spartien (Julianus, 2 et 3); Hérodien, II, 6.

9. Après ce nom, Rm. et St. intercalent τὸ μὲν γένος βουλευτικὸν, τὸν τρόπον δεινὸν ἔχων, phrase tirée de l'Extrait suivant de Peir. : Ὅτι ὁ Ἰουλιανὸς ὁ Δίδιος ἦν τὸ μὲν γένος βουλευτικὸν, τὸν δὲ τρόπον δεινὸν ἔχων· τά τε γὰρ ἄλλα καὶ χρημάτων ἐπιθυμητὴς ἄπληστος καὶ ἀναλωτὴς ἀσελγὴς ἐγένετο· ὅθεν που νεωτέρων πραγμάτων ἀεὶ ἐπεθύμει. « Didius Julianus « était de race sénatoriale, mais il avait une conduite détestable; il avait

ἄπληστος καὶ ἀναλωτὴς ἀσελγὴς[1], νεωτέρων τε ἀεὶ πραγμάτων ἐπιθυμῶν (διὸ καὶ πρὸς τοῦ Κομμόδου ἐς τὴν ἑαυτοῦ πατρίδα τὸ Μεδιόλανον[2] ἐξεληλατο), οὗτος οὖν
B.p.1234 ἀκούσας τὸν θάνατον τοῦ Περτίνακος, σπουδῇ ἐς τὸ στρατόπεδον παρεγένετο[3], καὶ πρὸς ταῖς πύλαις τοῦ τείχους ἑστὼς, παρεκάλει τοὺς στρατιώτας ὑπὲρ τῆς τῶν Ῥωμαίων ἡγεμονίας. Ὅτε δὴ καὶ πρᾶγμα αἴσχιστόν τε καὶ ἀνάξιον τῆς Ῥώμης ἐγένετο· ὥσπερ γὰρ ἐν ἀγορᾷ καὶ ἐν πωλητηρίῳ τινὶ, καὶ αὐτὴ καὶ ἡ ἀρχὴ αὐτῆς πᾶσα ἀπεκηρύχθη. Καὶ αὐτὰς ἐπίπρασκον μὲν οἱ τὸν αὐτοκράτορα σφῶν ἀπεκτονότες· ὠνητίων δὲ ὅ τε Σουλπικιανὸς καὶ ὁ Ἰουλιανὸς, ὑπερβάλλοντες ἀλλήλους, ὁ μὲν ἐνδοθεν, ὁ δὲ ἔξωθεν. Καὶ μέχρι γε πεντακισχιλίων δραχμῶν κατ' ἄνδρα κατὰ βραχὺ προστιθέντες προῆλθον, διαγγελλόντων τινῶν καὶ λεγόντων τῷ τε Ἰουλιανῷ, ὅτι « Σουλπικιανὸς τοσοῦτον δίδωσι, τί οὖν σὺ προστίθης; » καὶ τῷ Σουλπικιανῷ ὅτι « Ἰουλιανὸς τοσοῦτον ἐπαγγέλλεται, τί οὖν σὺ προσυπισχνῇ; » Κἂν ἐπε-

« de l'argent un désir insatiable et le dépensait sans vergogne; aussi « désirait-il toujours des révolutions. » Spartien, 2 : « Fuit consul cum Pertinace, et in proconsulatu Africæ ei successit. Et semper ab eo collega est et successor [cf. Capitolin, Pertinax, 14] appellatus. » Il avait, en outre, gouverné (Spartien, 2) la Belgique, la Dalmatie, la Germanie Inférieure et la Bithynie. Suivant Aurélius Victor (Césars, XIX, 1), il passa du commandement des Vigiles à l'empire; Jean d'Antioche prétend que Julianus était consul, ce qui n'est pas plus vrai l'un que l'autre; Hérodien dit avec plus de raison : Ἰουλιανῷ, ἤδη μὲν τὴν ὕπατον τετελευκότι ἀρχήν.

1. Le fait est confirmé par Hérodien; Spartien, 3, le représente, au contraire, comme poussant la parcimonie jusqu'aux dernières limites.

2. Spartien, 1 : « Avus paternus Insuber Mediolanensis... » 2 : « Factus est reus per quemdam Severum, clarissimum militem, conjurationis

prodigue jusqu'à la profusion, qui songeait sans cesse à former des entreprises (Commode l'avait, à raison de cette conduite, consigné à Milan, sa patrie), Didius Julianus, dis-je, n'eut pas plutôt appris la mort de Pertinax qu'il se rendit au camp, et, debout contre la porte des retranchements, sollicita des soldats la souveraineté de Rome. Alors se passa une chose infâme et indigne de Rome : Rome fut, comme sur une place publique et comme dans un marché, mise, elle et son empire tout entier, aux enchères. Les vendeurs étaient ceux qui avaient tué leur empereur, les acheteurs Sulpicianus et Julianus, cherchant, l'un du dedans, l'autre du dehors du camp, à se surpasser l'un l'autre. Les enchères ne tardèrent pas à monter jusqu'à cinq mille drachmes par tête, grâce à des messagers qui allaient dire à Julianus : « Sulpicianus donne tant, que mets-tu de plus? » et à Sulpicianus : « Julianus offre tant, que promets-tu de plus? » Sulpicianus l'aurait sans doute

cum Salvio contra Commodum : sed a Commodo, quia multos jam senatores occiderat, et quidem nobiles ac potentes, in causis majestatis, ne tristius gravaretur, Didius liberatus est, accusatore damnato. Absolutus, iterum ad regendam provinciam missus est. » — 3. Suivant Hérodien, II, 6, ce fut sa femme (Mallia Scantilla) et sa fille (Didia Clara) qui, au milieu d'un festin, lui persuadèrent d'acheter l'empire mis aux enchères par les prétoriens. D'après Spartien, 2, Julianus se rendait au sénat qui avait été convoqué après la mort de Pertinax, les tribuns P. Florianus et Vectius Aper le forcèrent de se rendre avec eux au camp des prétoriens. Le même historien (3) ajoute que, mandées par Julianus au palais, sa femme et sa fille s'y rendirent à regret et en tremblant, comme si elles eussent pressenti la fin tragique qui les attendait.

4. *a*, *b* : ὅτι τε Ἰουλιανός.

κράτησεν ὁ Σουλπικιανὸς, ἔνδον τε ὢν καὶ πολιαρχῶν, τάς τε πεντακισχιλίας[1] πρότερος ὀνομάσας, εἰ μὴ ὁ Ἰουλιανὸς οὐκέτι κατ' ὀλίγον, ἀλλὰ χιλίαις καὶ διακοσίαις καὶ πεντήκοντα ἅμα δραχμαῖς ὑπερέβαλε[2], καὶ τῇ φωνῇ μέγα βοῶν, καὶ ταῖς χερσὶν ἐνδεικνύμενος[3]. Τῇ τε γὰρ ὑπερβολῇ αὐτοῦ δουλωθέντες, καὶ ἅμα καὶ τὸν Σουλπικιανὸν, ὡς καὶ τιμωρήσοντα τῷ Περτίνακι[4], φοβηθέντες, ὅπερ Ἰουλιανὸς αὐτοῖς ὑπέτεινεν, ἐσεδέξαντό τε αὐτὸν καὶ αὐτοκράτορα ἀπέδειξαν[5].

12. Καὶ ὁ μὲν οὕτω πρὸς ἑσπέραν ἔς τε τὴν ἀγορὰν καὶ πρὸς τὸ βουλευτήριον ἠπείχθη, παμπληθεῖς δορυφόρους μετὰ σημείων συχνῶν ὥσπερ ἐς παράταξίν[6] τινα ἄγων, ἵνα καὶ ἡμᾶς καὶ τὸν δῆμον προκαταπλήξας[7] προσθῆται· καὶ αὐτὸν οἱ στρατιῶται τά τε ἄλλα ἐμεγάλυνον, καὶ Κόμμοδον ἐπωνόμαζον. Ἡμεῖς δὲ πυνθανόμενοι ταῦτα, ὡς που ἑκάστῳ διηγγέλλετο, ἐφοβούμεθα μὲν τὸν Ἰουλιανὸν καὶ
R.p.1235 τοὺς στρατιώτας, καὶ μάλιστα ὅσοι τι ἢ πρὸς τὸν Περ-

1. Bkk. et Ddf, d'après Slbg.; vulg. : τού; τε [Rsk. : γε] πεντακισχιλίους.

2. Spartien ne parle pas de l'enchère; quant au *donativum*, il dit (3) : « Sane quum vicena quina millia militibus promisisset, tricena dedit. » Hérodien, II, 7 et 11, n'est pas de cette opinion; d'après lui, Julianus aurait, pour remplir ses promesses, épuisé ses biens personnels et pris partout, même dans les temples, un argent avec lequel il ne put calmer les soldats, qui croyaient ne pas avoir reçu leur compte. — 3. Il est peu probable que Julianus tînt la somme dans ses mains. Aussi Rm., et je me range à son opinion, pense-t-il que le futur empereur montrait sur les doigts de la main la somme offerte par lui. Rm., à l'appui de cette interprétation, cite Marc-Antonin accordant au peuple huit *aurei* par tête ταῖς χερσὶ προσενιδείξατο, LXXI, 32), et (dans Spartien, 4, passage dont

emporté, tant parce qu'il était dans l'intérieur du camp, que parce qu'il était préfet urbain et qu'il avait le premier parlé des cinq mille drachmes, si Julianus n'avait enchéri non plus progressivement, mais de douze cent cinquante drachmes tout d'un coup, criant à haute voix et indiquant la somme sur ses doigts. Séduits par cette enchère et craignant en même temps que Sulpicianus ne vengeât Pertinax, comme Julianus le leur insinuait, les soldats le reçurent dans leur camp et le proclamèrent empereur.

12. Ce fut dans de telles conjonctnres que Julianus, vers le soir, se hâta de se rendre au Forum et au sénat, menant avec lui un grand nombre de prétoriens avec plusieurs enseignes, comme s'il se fût agi de les ranger devant l'ennemi, dans le dessein de nous obliger, nous et le peuple, à embrasser son parti en nous frappant d'abord d'épouvante; les soldats, entre autres noms magnifiques qu'ils lui donnaient, l'appelaient Commode. Pour nous, quand nous connûmes ce changement, nous nous prîmes, selon que la chose était annoncée à chacun de nous, à redouter Julianus et les soldats, ceux surtout qui avaient eu quelque liaison avec Pertinax....

le sens est, selon moi, contesté à tort) Julianus lui-même cherchant à apaiser le peuple « pollicitationibus aureorum quos digitis ostendebat, ut fidem faceret. » Puis il ajoute : « Ergo si et hic, ut moris fuit, aureos digitis adnumeravit, non drachmas aut sestertios vel sestertia : vicena millia HS. prius promissa significavit nomine ducentorum aureorum, quina millia adjecta, nomine quinquaginta aureorum. Ducenti autem exprimebantur, quum summus pollex dextræ inter medios indicis et impudici artus immittebantur : quinquaginta addebantur, lævæ manus pollice ad modum græci Γ versus palmam inclinato. » — 4. Zn. ajoute (cf. ch. 7) : οἷα δὴ κηδεστῇ. — 5. Cf. Hérodien, II, 6 et Spartien, 2. — 6. Bkk. et Ddf, d'après Irmisch (notes sur Hérodien, II, 18, vol. II, p. 191) combattu par St.; vulg. : πρᾶξιν — 7. Slhg., Bkk. et Ddf; vulg. : προσκαταπλήξας.

τίνακα ἐπιτήδειον.....[1] (καὶ γὰρ ἐγὼ εἷς ἐξ αὐτῶν ἦν, ἐπειδὴ ὑπό τε τοῦ Περτίνακος τά τε ἄλλα ἐτετιμήμην, καὶ στρατηγὸς ἀπεδεδείγμην, καὶ ἐκεῖνον πολλὰ πολλάκις ἐν δίκαις συναγορεύων τισὶν ἀδικοῦντα ἐπεδεδείχειν)· ὅμως δ' οὖν καὶ διὰ ταῦτα (οὐ γὰρ ἐδόκει ἡμῖν ἀσφαλὲς εἶναι οἴκοι, μὴ καὶ ἐξ αὐτοῦ τούτου ὑποπτευθῶμεν, καταμεῖναι) προῆλθομεν, οὐχ ὅτι λελουμένοι[2], ἀλλὰ καὶ δεδειπνηκότες· καὶ ὠσάμενοι διὰ τῶν στρατιωτῶν, ἐς τὸ βουλευτήριον ἐσήλθομεν, καὶ ἠκούσαμεν αὐτοῦ τά τε ἄλλα ἀξίως ἑαυτοῦ λέγοντος, καὶ ὅτι, « Ὑμᾶς τε ὁρῶ ἄρχοντος δεομένους, καὶ αὐτὸς, εἰ καί τις ἄλλος, ἀξιώτατός εἰμι ὑμῶν ἡγεμονεῦσαι. Καὶ εἶπον ἂν πάντα τὰ προσόντα μοι ἀγαθὰ, εἰ μὴ καὶ ᾔδειτε, καὶ πεπειραμένοι μου ἦτε. Διὸ οὐδὲ ἐδεήθην πολλοὺς στρατιώτας ἐπάγεσθαι, ἀλλ' αὐτὸς μόνος πρὸς ὑμᾶς ἀφῖγμαι, ἵνα μοι τὰ ὑπ' ἐκείνων δοθέντα ἐπικυρώσητε[3]. » Μόνος τε γὰρ ἦκω, ἔλεγε, πᾶν μὲν ἔξωθεν τὸ βουλευτήριον ὁπλίταις περιεστοιχισμένος, πολλοὺς δὲ καὶ ἐν αὐτῷ τῷ συνεδρίῳ στρατιώτας ἔχων· καὶ τοῦ συνειδότος ἡμᾶς τοῦ περὶ αὐτὸν ἀνεμίμνησκεν, ἐξ οὗ καὶ ἐμισοῦμεν αὐτὸν καὶ ἐφοβούμεθα.

13. Καὶ ὁ μὲν, οὕτω τὴν αὐταρχίαν καὶ ἐκ τῶν τῆς

1. Bkk. et Ddf; St. : : « Ὅσοι τι οἱ πρὸς τὸν Περτίνακα ἐπιτήδειοι. Nihil discrepat Pal. (et Br.) [*f* et *k*, neque *a*, *b*, *c*] nisi quod pro οἱ ἐπιτήδειοι habet ἢ ἐπιτήδειον. Unde conjicio, veram scripturam esse ὅσοις ἦν πρὸς τὸν Περτίνακα ἐπιτήδειον. Sylb. Posses etiam ex Pal. [*f*] colligere, post verba ὅσοι τι aliquid deesse; vel legas licet : ὅσοι γε οἱ, etc. Re. Ὅσοι ἦμεν πρὸς τὸν Περτίνακα *quotquot Pertinaci eramus*

(en effet, j'étais de ce nombre, attendu que, entre autres honneurs reçus de Pertinax, j'avais eu celui d'être préteur désigné, et que, maintes fois, en défendant des citoyens devant les tribunaux, j'avais dévoilé mainte injustice de Julianus). Malgré cela cependant (il ne nous semblait pas qu'il y eût sûreté pour nous à nous tenir dans nos maisons, de peur d'exciter par cela même les soupçons), nous sortîmes après avoir pris non-seulement le bain, mais aussi le repas du soir; nous entrâmes dans la curie, en nous ouvrant un passage à travers les soldats, et nous entendîmes faire à Julianus un discours digne de lui, discours où, entre autres choses, il dit : « Je vois que vous avez besoin d'un chef, « et moi, je suis digne, s'il en fut, d'être à votre tête. « Je vous énumérerais toutes mes qualités, si vous ne « les connaissiez déjà, et si vous ne m'aviez pas mis « à l'épreuve. Aussi je n'ai pas eu besoin d'amener un « grand nombre de soldats, je suis venu seul vers vous « pour obtenir la confirmation de ce qu'ils m'ont « donné. » Je viens seul, disait-il, quand il avait, au dehors, entouré de gens armés la curie tout entière, quand il avait un grand nombre de soldats avec lui dans l'assemblée même; il en appelait au témoignage de notre conscience sur sa vie qui ne nous inspirait que haine et que crainte.

13. Julianus, après avoir ainsi fait confirmer son au-

amici. R.» Bkk., en note, propose de combler la lacune par ἢ πρὸς τοῦτον ἐπαχθὴς ἐγεγένητο.

2. Rsk., Bkk. et Ddf; vulg. : δεδουλωμένοι. Rsk. : « Octava lavabant, et nona cœnabant, etc. » Cf. la note 83* dans l'édition de Sturz.

3. Spartien lui prête une conduite et des paroles tout opposées à celles que Dion lui attribue.

βουλῆς δογμάτων βεβαιωσάμενος [1], ἀνῆλθεν ἐς τὸ παλάτιον· καὶ εὑρὼν τὸ δεῖπνον τὸ τῷ Περτίνακι παρεσκευασμένον, πολλά τε αὐτοῦ κατεγέλασε, καὶ μεταπεμψάμενος ὅθεν τι καὶ ὁπωσοῦν εὑρεθῆναι τότε ἠδυνήθη πολυτίμητον, διεπίμπλατο· ἔνδον ἔτι τοῦ νεκροῦ κειμένου, καὶ ἐκύβευεν, ἄλλους τε καὶ Πυλάδην τὸν ὀρχηστὴν παραλαβών [2]. Τῇ δὲ δὴ ὑστεραίᾳ ἡμεῖς μὲν ἀνήειμεν ὡς αὐτὸν, πλαττόμενοι
B p. 1236 τρόπον τινὰ καὶ σχηματιζόμενοι, ὅπως μὴ κατάφωροι ἐπὶ τῇ λύπῃ γενώμεθα [3]· ὁ δὲ δῆμος ἐσκυθρώπαζε φανερῶς [4], καὶ διελάλουν ὅσα ἤθελον, καὶ παρεσκευάζοντο πρᾶξαι ὅσα ἠδύναντο [5]. Καὶ τέλος, ἐπειδὴ πρὸς τὸ συνέδριον ἦλθε, καὶ τῷ Ἰανῷ τῷ πρὸ τῶν θυρῶν αὐτοῦ θύσειν ἔμελλεν [6], ἐξέκραγον πάντες, ὥσπερ ἐκ συγκειμένου τινὸς, τῆς τε ἀρχῆς ἅρπαγα αὐτὸν καὶ πατροφόνον [7] ὀνομάζοντες. Ὡς δὲ προσποιησάμενος μὴ χαλεπαίνειν, ἀργύριόν τι αὐτοῖς ὑπέσχετο, ἀγαναχτήσαντες ὡς καὶ δεκαζόμενοι, ἀνεβόησαν ἅμα πάντες, « Οὐ θέλομεν, οὐ λαμβάνομεν. » Καὶ αὐτοῖς

1. Spartien, 3 : « Facto senatusconsulto imperator est appellatus, et tribunitiam potestatem, jus proconsulare, in patricias familias relatus, emeruit. Uxor etiam Mallia Scantilla et filia ejus Didia Clara Augustæ sunt appellatæ. » — 2. Hérodien, II, 7, est d'accord avec Dion; Spartien, 3 (on ne sait sur quelle autorité il s'appuie), prétend que ces bruits sont de pures calomnies.

3. Spartien, 4, au contraire : « Ubi vero primum illuxit, senatum et equestrem ordinem in palatium venientem admisit, atque unum quemque, ut erat ætas, vel fratrem, vel filium, vel parentem affatus blandissime est. » Ce passage peut servir de commentaire à ces mots de Dion (ch. 14) : θωπεύων τὴν βουλήν.

4. Capitolin (Pertinax, 14) : « Populus mortem ejus indignissime tulit, quia videbat omnia per eum antiqua posse restitui. » Spartien (Julianus, 3) :

torité par un décret du sénat, monta au palais, et, trouvant le souper préparé pour Pertinax, en plaisanta beaucoup, puis, envoyant chercher, n'importe où et comment il fut possible de les trouver dans le moment, des plats fort chers, il s'en gorgea, tandis que le cadavre gisait, encore sans sépulture, dans l'intérieur du palais, joua aux dés, ayant, entre autres, auprès de lui le danseur Pylade. Le lendemain, nous l'allâmes saluer, nous composant, pour ainsi dire, et nous contrefaisant pour ne pas laisser surprendre notre tristesse ; le peuple montrait ouvertement son affliction, chacun tenait les propos qu'il lui plaisait, chacun se préparait à faire ce qu'il pouvait. Enfin, lorsque Julianus fut arrivé au sénat, comme il se disposait à offrir le sacrifice à Janus devant les portes de la curie, tout le monde poussa des cris comme à un signal donné, en lui prodiguant les noms d'usurpateur et de parricide. Celui-ci, faisant semblant de ne point se fâcher, leur ayant promis de l'argent, tous, indignés comme si on cherchait à les corrompre, s'écrièrent à la fois : « Nous n'en voulons pas, nous ne

« Erat in odio populi Didius Julianus ob hoc quod creditum fuerat, emendationem temporum Commodi Pertinacis auctoritate reparandam. »

5. Bkk. : ἐδύνατο. — 6. C'est le sacrifice désigné au ch. suivant : ὅτε τὰ ἐσιτήρια πρὸ τοῦ βουλευτηρίου ἔθυεν ὁ Ἰουλιανός, sacrifice qu'offrait celui qui convoquait le sénat. Dion nous apprend ici que ce sacrifice s'adressait spécialement à Janus, dieu des portes, qui avait un autel devant la curie. Les sénateurs offraient de l'encens et du vin, les empereurs offraient des victimes. Cf. Irmisch, notes sur Hérodien, II, 6. Peut-être bien est-ce un sacrifice pour la prise de possession de l'empire, la version latine *pro adeundo imperio*, reproduite dans l'*Index*, semble favoriser ce sens qui, d'ailleurs, n'exclut pas l'autre.

7. A cause du meurtre de Pertinax, qui avait reçu le nom de Père de la patrie.

καὶ τὰ πέριξ οἰκοδομήματα φρικῶδές τι συνεπήχησεν[1]. Ἀκούσας δὲ ταῦτα ὁ Ἰουλιανὸς οὐκέτ' ἐκαρτέρησεν, ἀλλὰ τοὺς ἐγγὺς προσεστηκότας κτείνεσθαι προσέταξε[2]. Καὶ ὁ δῆμος ἔτι καὶ μᾶλλον ἐπιπαρωξύνθη, καὶ οὐκ ἐπαύσατο οὔτε τὸν Περτίνακα ποθῶν, οὔτε τὸν Ἰουλιανὸν λοιδορῶν, οὔτε τοὺς θεοὺς ἐπιβοώμενος[3], οὔτε τοῖς στρατιώταις ἐπαρώμενος[4]· ἀλλὰ καίτοι πολλοὶ πολλαχοῦ[5] τῆς πόλεως καὶ τιτρωσκόμενοι καὶ φονευόμενοι, ἀντεῖχον. Καὶ τέλος ὅπλα ἁρπάσαντες συνέδραμον ἐς τὸν ἱππόδρομον[6]· κἀνταῦθα διετέλεσαν τὴν νύκτα καὶ τὴν μετ' αὐτὴν ἡμέραν ἄσιτοι καὶ ἄποτοι, βοῶντες[7] τούς τε λοιποὺς στρατιώτας, καὶ μάλιστα τὸν Νίγρον τὸν Πεσκέννιον καὶ τοὺς μετ' αὐτοῦ ἐν τῇ Συρίᾳ ὄντας, ἐπαμῦναι σφίσι δεόμενοι[8]. Καὶ μετὰ τοῦτο τῇ τε κραυγῇ καὶ τῷ λιμῷ τῇ τε ἀγρυπνίᾳ κακωθέντες, διελύθησαν, καὶ ἡσυχίαν ἦγον, τὰς ἔξωθεν ἐλπίδας ἀναμένοντες.

14. Ἰουλιανὸς δὲ, οὕτω τὴν ἀρχὴν ἁρπάσας, ἀνελευθέρως τοῖς πράγμασιν ἐχρῆτο, θωπεύων[9] τὴν βου-

1. Bkk.; vulg. et Ddf : συνεπήχησαν. — 2. Spartien, 4 : « E senatu in Capitolium pergenti populus obstitit, sed ferro et vulneribus et pollicitationibus aureorum, quos digitis ostendebat ipse Julianus, ut fidem faceret, submotus atque depulsus est. »

3. Le Grammairien publié dans les *Anecdota* de Bkk., vol. I, p. 142, 11 : Ἐπιβοῶμαι, αἰτιατικῇ. Δίων ἑβδομηκοστῷ τετάρτῳ [lisez : τρίτῳ] βιβλίῳ· « Καὶ οὐκ ἐπαύσατο οὔτε ἐκεῖνον ποθῶν, οὔτε τὸν Ἰουλιανὸν λοιδορῶν, οὔτε τοὺς θεοὺς ἐπιβοώμενος. » Καὶ ὑποκατιών· « Οὐ βοηθῶ τῷ δήμῳ, οὐ γάρ με ἐπεβοήσατο. » Cette dernière citation ne se trouve plus aujourd'hui dans notre auteur.

l'acceptons pas. » Les édifices d'alentour leur répondirent par un bruit à faire frissonner. Julianus, entendant cela, ne se contint plus, et il donna l'ordre de faire mourir ceux qui étaient les plus proches de lui. Mais le peuple n'en fut que plus aigri encore et ne cessa ni de témoigner ses regrets de la perte de Pertinax, ni d'accabler Julianus d'injures, ni d'invoquer à haute voix le secours des dieux, ni de charger les soldats d'imprécations; bien plus, quoique plusieurs eussent été blessés et tués en divers endroits de la ville, il n'en continua pas moins sa résistance. Enfin, tout le peuple courut en armes au cirque et y passa la nuit et le jour suivant sans boire et sans manger, appelant à grands cris à son secours les autres soldats, mais surtout Pescennius Niger avec ceux qui étaient en Syrie sous son commandement. Puis, abattu par ses cris, par la faim et par les veilles, il se sépara et se tint en repos, attendant les espérances du dehors.

14. Julianus, s'étant ainsi emparé de l'empire, usa du pouvoir avec bassesse, courtisant lâchement le sénat et

4. Spartien, 4 : « Populus autem in milites vehementissime invehebatur, qui ob pecuniam Pertinacem occidissent. »

5. Bkk. et Ddf; vulg. : πολλοὶ καὶ πολλαχοῦ. — 6. Spartien, 4 (cf. Hérodien, II, 7), à la suite du passage cité plus haut, ch. 13, prétend que le peuple se rendit au cirque pour y assister aux jeux : « ... Inde ad circense spectaculum itum est. Sed occupatis indifferenter omnium subselliis, populus geminavit convitia in Julianum. » — 7. Zn., Rm., St. : ἐπιβοῶντες. — 8. Spartien continue : « Pescennium Nigrum, qui jam imperare dicebatur, ad urbis præsidium vocavit. »

9. *f* : θωπεύειν.

R.p.1237 λὴν [1] καὶ τούς τι δυναμένους· καὶ τὰ μὲν ἐπαγγελλόμενος, τὰ δὲ χαριζόμενος, προσεγέλα τε καὶ προσέπαιζε πρὸς τοὺς τυχόντας· ἔς τε τὰ θέατρα συνεχῶς ἐσεφοίτα, καὶ συμπόσια πολλὰ συνεκρότει· τό τε σύμπαν, οὐδὲν ὅ τι οὐκ ἐπὶ θεραπείᾳ ἡμῶν ἐποίει. Οὐ μέντοι καὶ πιθανὸς ἦν, ἀλλ' ὡς ἀκράτῳ τῇ θωπείᾳ χρώμενος ὑπωπτεύετο· πᾶν γὰρ τὸ ἔξωθεν τοῦ εἰκότος, κἂν χαρίζεσθαί τισι δοκῇ, δολερὸν τοῖς νοῦν ἔχουσι νομίζεται. Ἐν μὲν δὴ τῇ Ῥώμῃ ταῦτα ἐγένετο· περὶ δὲ τῶν ἔξω ταύτης γενομένων καὶ νεωτερισθέντων ἤδη ἐρῶ. Τρεῖς γὰρ δὴ τότε ἄνδρες τριῶν ἕκαστος πολιτικῶν στρατοπέδων καὶ ἄλλων ξενικῶν συχνῶν ἄρχοντες, ἀντελάβοντο τῶν πραγμάτων, ὅ τε Σεουῆρος καὶ ὁ Νίγρος καὶ ὁ Ἀλβῖνος· οὗτος μὲν τῆς Βρεττανίας ἄρχων, Σεουῆρος δὲ τῆς Παννονίας, Νίγρος δὲ τῆς Συρίας. Καὶ τούτους ἄρα οἱ ἀστέρες οἱ τρεῖς, οἱ ἐξαίφνης φανέντες, καὶ τὸν ἥλιον περισχόντες, ὅτε καὶ ἐσιτήρια πρὸ τοῦ βουλευτηρίου ἔθυεν ὁ Ἰουλιανὸς [2] παρόντων ἡμῶν, ὑπηνίττοντο. Οὕτω γὰρ ἐκφανέστατοι ἦσαν, ὥστε καὶ τοὺς στρατιώτας συνεχῶς τε αὐτοὺς ὁρᾶν, καὶ ἀλλήλοις ἀντεπιδεικνύειν, καὶ προσέτι καὶ διαθρεῖν ὅτι δεινὸν αὐτῷ συμβήσεται. Ἡμεῖς

1. Conf. le passage de Spartien rapporté page 168, note 3. On lit dans les *Excerpta Vaticana* : Ὅτι Ἰουλιανὸς, ὁ μετὰ Περτίνακα τὴν ἀρχὴν ἁρπάσας, πάντας ἐκολάκευεν. Ψηφισαμένης δὲ βουλῆς χρυσοῦν ἀνδριάντα αὐτοῦ, οὐ προσεδέξατο, εἰπὼν ὅτι « Χαλκοῦν μοι δότε, ἵνα καὶ μείνῃ· καὶ γὰρ τῶν πρὸ ἐμοῦ αὐτοκρατόρων τοὺς μὲν χρυσοῦς καὶ ἀργυροῦς ὁρῶ καθαιρεθέντας, τοὺς δὲ χαλκοῦς μένοντας· οὐκ ὀρθῶς τοῦτο εἰπών· ἀρετὴ γάρ ἐστιν ἡ διαφυλάττουσα [*sic* le ms et Ddf; Bkk. om. : ἐστιν; St. : ἀρετὴ γὰρ ἰδία φυλάττουσα] τὴν μνήμην τῶν κρατούντων· ὁ γὰρ δοθεὶς αὐτῷ χαλκοῦς, ἀναιρεθέντος [*sic* Bkk. et Ddf; St. : ἀνῃρεθέντος]

